δὲ εἴρηκεν ἐκ τοῦ Διαγόρα λοιδορηθεῖσαν. πρὸς δὲ τὸ ῥηθὲν ὑπὸ τοῦ ἑτέρου, καταβάσω ὁ στρατηγὸς ἀντέθηκεν, καὶ Νικίαν ταράξω. Νικίας δὲ στρατηγὸς Ἀθηναίων. ἄλλως. καταβάδες ἑταῖραι εἰσὶν, αἳ ἀεὶ ἐπὶ τῶν οἰκημάτων ἑστῶσαι, ἐπὶ μισθῷ παρέχουσι τοῖς βουλομένοις. καταβάδες δὲ εἴρηνται, ἀφ᾽ οὗ ποιοῦσι. καλοῦσι μὲν γὰρ οὐκ ἔχουσαι τοὺς ἐραστάς. σβοῦσι δὲ τοὺς ὄντας, ἵνα ἄλλους λάβωσιν. ἐπεὶ οὖν ἰταμῶς καὶ ἀναιδῶς καὶ ὁ Κλέων ἀλλοτρίοις ἐπεπήδησεν εἰκῇ, καὶ τῆς ἐπὶ τοῖς κα- A τορθώμασι δόξης αὐτοὺς ἀφείλετο, καὶ αἱ ἑταῖραι δὲ ἀναίσχυντοι καὶ ἀναιδεῖς, ἐπεὶ ἐπιπηδῶσι τοῖς ἐρασταῖς, εἰκότως ὁ ποιητὴς τῇ λέξει ταύτῃ κέχρηται. Ἐγὼ δὲ γ᾽ ἤνυστρον. ] τὰ μηρυκάζοντα τῶν ζώων, τρεῖς κοιλίας ἔχει. κεκρύφαλον. ἤνυστρον. ἐχῖνον. μηρυκάζει δὲ, ὅταν μὴ τροφῆς παρακειμένης, ἀναπεμπάζῃ τὴν ἐν τῇ κοιλίᾳ τροφὴν, καὶ κινῆται τὸ στόμα. ὥσπερ αἲξ καὶ πρόβατον καὶ κάμηλος. εἰκότως δὲ ὡς μάγειρος τούτοις ἠμείψατο τὸν Κλέωνα.

B

Καταβροχθίσας, κἆτ᾽ ἐκπιὼν τὸν ζωμὸν ἀναπόνιπτος

Λαρυγγιῶ τοὺς ῥήτορας, καὶ Νικίαν ταράξω.

Χο. Τὰ μὲν ἄλλα μ᾽ ἤρεσας λέγων, ἓν δ᾽ οὐ προσίεταί με

Τῶν πραγμάτων. ὁτιὴ μόνος τὸν ζωμὸν ἐκροφήσεις.

Ἀλλ᾽ οὐ λάβρακας καταφαγὼν, Μιλησίους κλονήσεις. C

Ἀλλ. Ἀλλὰ σχελίδας ἐδηδοκὼς, ὠνήσομαι μέταλλα.

Κλ. Ἐγὼ δ᾽ ἐπεισπηδῶν γε τὴν βουλὴν βίᾳ κυκήσω.

Ἀλλ. Ἐγὼ δὲ κινήσω γέ σου τὸν πρωκτὸν ἀντὶ φύσκης.

Κλ. Ἐγὼ δέ τ᾽ ἐξέλξω σε τῆς πυγῆς θύραζε κύβδα. D

Χο. Νὴ τὸν Ποσειδῶ, κἀμέ γε, ἤνπερ τοῦτον ἕλκης.

*Et illotis manibus epotauero ius esculentum:*

*Guttur præcidam causidicis, & Niciam commouebo.*

CH. *Quæ dicis, omnia placent: hoc vnum mihi non probatur:*

*Quòd solus exsorpturus es ius illud esculentum.*

*At non Milesios mouebis, si vores labraces.*

AG. *At lateribus voratis, etiam mercabor metalla.*

CL. *Ego verò insultans, vi conturbabo hunc omnem senatum.*

AG. *Ego verò pro falisco podicem tuum mouebo.*

CL. *Ego verò natibus te extraham foràs, capite inclinato.*

CH. *Et me vnà per Neptunum: siquidem hunc protrahes, sceleste.*

Σχόλια. Καταβροχθίσας. ] ἐκροφήσας. καταπιών. λέγεται δὲ ἐπὶ τῶν ἀθρόως καὶ ἀπλήστως ἐκροφώντων. Ἀναπόνιπτος. ] μὴ νιψάμενος μὴ δὲ πλύνας τὰς χεῖρας. ἀλλ᾽ ἀκάθαρτος. ἵνα τὸ ῥυπαρὸν αὐτοῦ μᾶλλον ἐνδείξῃ τῶν τρόπων. παρατηρητέον δὲ ὅτι τοῖς ἴσοις ἀμείβεσθαι φιλονεικεῖ τὸν Κλέωνα. τῷ μὲν οὖν θύννῳ τὸ ἤνυστρον καὶ κοιλίαν ἀντιτιθείς. τῷ δὲ θερμῷ, τὸ ἀναπόνιπτος. τῷ δὲ οἴνῳ τὸν ζωμόν. Λαρυγγιῶ. ] καταβοήσομαι φησὶ τῶν ἄλλων ῥητόρων. ἢ τὴν φάρυγγα ἐκτεμῶ. τουτέστι κατασιγάσω τοὺς ῥήτορας. τμηθείσης γὰρ τῆς E φάρυγγος, οὐχ οἷόν τε τὴν φωνὴν προΐεσθαι. παρατηρητέον δὲ ὅτι ὥσπερ ὁ Κλέων ἠπείλησε καταβάσω τοὺς ἐν Πύλῳ στρατηγοὺς, καὶ οὗτος ἐχρήσατο τῷ λαρυγγιῶ τοὺς ῥήτορας. Καὶ Νικίαν ταράξω. ] φοβήσω. δυσωνήτος δὲ ὁ Νικίας. ἐμφαίνει δὲ, ὅτι καὶ αὐτὸς τῶν εὐδοκιμούντων ἦν στρατηγός. καὶ ὁ υἱὸς Στράτιππος. ἐμνημόνευσε δὲ τοῦ Νικίου Δημοσθένης. ἦν δὲ Νικηράτου παῖς. Ἀλλ᾽ F οὐ λάβρακας. ] λάβραξ εἶδος ἰχθύος. ἀφ᾽ οὗ ποιεῖται τὴν προσηγορίαν. κέχηνέ τε γὰρ αὐτοῦ τὸ στόμα καὶ ἀθρόως καὶ λάβρως τὸ δέλεαρ καταπίνει. ὅθεν καὶ εὐχερῶς ἁλίσκεται. ἐπεὶ οὖν ὁ μὲν Κλέων ἔφησε θύννους θερμοὺς καταπιεῖν, ὁ δὲ ἀλλαντοπώλης ἀπὸ τῆς αὐτοῦ τέχνης ὁρμώμενος, τὸ ἤνυστρον καὶ τὴν κοιλίαν. καὶ τὸν ζωμὸν ἀντέθηκεν, ὁ χορὸς μέμφεται ὡς οὐκ εἰκὸς ἀμειψαμένου τοῦ ἀλλαντοπώλου τὸν Κλέωνα. λέγων ὡς ἔχειν αὐτὸν ἀντι- G τεθεικέναι τῷ θύννῳ λάβρακα. ἰδιωτέρα γὰρ αὕτη πρὸς τὸν θύννον τοῦ ἠνύστρου καὶ ὧν αὐτὸς εἶπεν, ἀπάντησις ἂν ἦν. ἄλλως. βέλτιόν φησιν εἶναι λάβρακας καταφαγόντα, τοὺς Μιλησίους κλονεῖν. ἀλλὰ μὴ Νικίαν ταράσσειν. ὅπερ ἠπείλησεν ὁ ἀλλαντοπώλης. ἐν Μιλήτῳ δὲ, τῆς Ἀσίας, μέγιστοι οἱ λάβρακες, διὰ τὴν ἐπεισρέουσαν λίμνην εἰς τὴν θάλασσαν. χαίροντες γὰρ οἱ ἰχθύες τῷ γλυκεῖ ὕδατι εἰς τὴν λίμνην ἐκ τῆς θαλάσσης ἀνατρέχουσι, καὶ οὕτω πληθύνουσι παρὰ τοῖς Μιλησίοις. Μιλησίους δὲ εἶπεν, ὡς τοῦ Κλέωνος τοὺς Μιλησίους ταράσσοντος καὶ ἐπηρεάζοντος. Σχελίδας ] βοὸς πλευρά. ἢ ἁπλῶς τὰ πλευρικὰ ὡς Αἰσχύλος. Ὠνήσομαι μέταλλα ] ὠνήσομαι μέταλλα ἀργυρείου καὶ χρυσίου. ὥστε προσόδους ἔχειν τὴν πόλιν. ἦν δὲ μέταλλα Ἀθήνησιν ἐν Λαυρείῳ. Κυκήσω. ] συνταράξω ἐπεισπεσών. τὸ βίαιον δὲ αὐτοῦ διὰ τῆς λέξεως ἐδήλωσεν. Φύσκης. ] φύσκη ἔντερόν ἐστι παχύ. εἰς ὃ ἐμβάλλεται ἄλευρα καὶ κρέα καὶ μάσσουσιν. ἐξ οὗ γίνεται ὁ ἀλλᾶς. ὡς ἀλλαντοπώλης δὲ τῆς φύσκης ἐμνημόνευσε. Κύβδα ] κύπτοντα. διὰ δὲ τοῦ σχήματος τὴν αἰσχύνην δείκνυσιν ἑαυτοῦ. Νὴ τὸν Ποσειδῶ. ] καὶ ἐμὲ τὸν θεράποντα ἑλκέτω ἐὰν τὸν ἀλλαντοπώλην ἕλκης. ἄλλως. ὁ χορός ἐστιν ὁ λέγων. χρήσιμος δὲ κέχρηται τῇ συνδρομῇ. μὴ τοῦτον μόνον, ἀλλὰ καὶ ἡμᾶς τὸν αὐτὸν ἐξάγοις τρόπον.

BISETVS. Σύστημα κώλων ιέ. περὶ ὧν ὅρα τὰ ἐν τοῖς σχολίοις.

Κλ. Οἴομαί σε δήσω τῷ ξύλῳ.

Αλ. Διώξομαί σε δειλίας.

CL. *Solum alligabo te palo.*

AG. *Timiditatis agam te reum.*